παραμυθεῖται δ' ἡμᾶς, εἴ τι καὶ παῖξαι δεῖ, τὸ μὴ οὕτω ῥᾳδίως θραύεσθαι τῶν ἀγγείων τὰ φαῦλα. Κύιντον δὲ καὶ τὰ Πυρρώνεια ὅπως γεγράψονται, σοὶ μελέτω. τὰ σεσαθρωμένα ἐκεῖνα καὶ διεφθορότα τοῦ Γαληνοῦ βιβλία, ἅ σοι κατέλιπον, εἰ περίεισιν ἔτι, οὐ χεῖρον φυλάξαι. εὑρήσομεν γάρ ποτε ἴσως τὸν ἀντιγράψοντα. εὖ πράττοις.

M 244

## 35. ⟨Ἀνεπίγραφος⟩

## ⟨Βησσαρίων Μιχαήλῳ Ἀποστολίῳ.⟩

Ἐδεξάμην ἃ Διονυσίου τοῦ Ἁλικαρνασσέως ἡμῖν περὶ ὀνομάτων συνθέσεως ἔπεμψας. ταῦτα δὴ ἀντιγραφέντα πρὸς σὲ ἀποπέμπομεν, καὶ προσέτι σοι
M 244ᵛ χάριτας οἴδαμεν. ἀξιοῦμεν δέ, ἵνα καὶ τὰ λοιπὰ τοῦ βιβλίου ἡμῖν πέμψῃς πλὴν τῶν εἴς τε ῥητορικήν, εἴς τε ποιητικὴν Ἀριστοτέλους· ταῦτα γὰρ καὶ αὐτοὶ ἔχομεν. παρὰ ταῦτα οὖν τὰ ἄλλα πάντα, ἃ τὸ σὸν περιέχει βιβλίον, κατὰ μέρη ἡμῖν πέμψον, οὐχ οὕτω μέντοι σφόδρα τεμαχίζων. καὶ γὰρ δή εἰσι παρ' ἡμῖν ταχυγράφοι, ὧν ἕκαστος περὶ δύο τετράδια ἑκάστης ἡμέρας οἷός τέ ἐστι γράφειν. ὥστε καὶ ὁ Διονύσιος ἐν δυσὶν ὅλως ἡμέραις ἐγράφη. οὐ τάχιον δὲ ἀπεπέμψαμεν διὰ τὴν τοῦ ἀσφαλῶς ἂν κομιοῦντος ἀπορίαν. τοῦτο δ' αὐτὸ καὶ μεγάλης ἔσται βραδυτῆτος αἰτία, καὶ μάλιστ' ἂν οὕτω κατὰ μικρὰ μέρη πέμπῃς. ἂν δὲ περὶ δέκα ἢ καὶ πλείω ἡμῖν ἑκάστοτε τετράδια πέμπῃς, τούτων τὰ ἡμίση ἀντιγραφέντα εὐθὺς ἀποπέμψομεν, ληψόμενοι ἕτερα, ἃ ἕως ἂν ἀφίκωνται, γραφήσονται τὰ λοιπά. καὶ οὕτως οὐ πολὺς τριβήσεται χρόνος, ἡμῶν μὲν ἀποδιδόντων τὸ μέρος ἡνίκ' ἂν λάβοιμεν ἕτερον, ὑμῶν δ' ἕτερα πεμπόντων, ὅτε τὰ πρὸ αὐτῶν ἀπολάβοιτε. τὰ νῦν οὖν ἡμῖν τὰ εἰς ῥητορικὴν Ἀψίνου καὶ ὅλα ἅμα, εἰ βούλοιο, πέμψον· εἰ δὲ μή, ὅσον ἂν αὐτοῦ μέρος σοι δόξειεν· ὅπως δήποτε γὰρ πρᾶγμα κεχαρισμένον ἡμῖν ποιήσεις, καὶ ἐξ οὗ χάρις σοι παρ' ἡμῖν ἀποκείσεται. εὖ πράττοις.

---

2 Πυρρώνεια] Πυρώνεια M | 4 περίεισιν M περίεστιν *Lampr.* | 23 Ἀψίνου *scripsi cum Lampr.* Ἀψινόου M | 24 δόξειεν M δόξοιεν *Lampr.* | ὅπως δήποτε] ὁπωδήποτε M

Ep. 35. **Bessarion** hat den **Dionysios von Halikarnaß** erhalten und abschreiben lassen. Er wünscht weiter Kommentare zur Rhetorik und Poetik des **Aristoteles**. Die Texte selber habe er. Alles übrige aus seinem Büchervorrat soll er in Teilstücken schicken. Jeder seiner Abschreiber — wie viele er beschäftigt, sagt er leider nicht — kann zwei Quaternionen im Tag erledigen. So haben sie den Djonys in ganzen zwei Tagen abgeschrieben. Künftighin wünsche er noch mehr Teilstücke. Nach erledigter Abschrift gehen die Kodizes sofort wieder zurück. Zum Schluß verlangt er noch die Rhetorik des **Apsines**.

**Überlieferung**: Venedig, Cod. Marc. gr. 527, fol. 244—244 v. Erstmalige **Ausgabe von Sp. Lampros**: Νέος Ἑλληνομνήμων II (1905) 335 sq.

Ε.Υ.Δ.Τ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006